γυναικός, ἣν νῦν γῆ κατ' εὐρώεσσ' ἔ[χει,
τ]έρψιές εἰσι θεῆς
πολλαὶ νέοισιν ἀνδ[ράσιν
π̣αρὲξ τὸ θεῖον χρῆμα· τῶν τις ἀρκέσε[ι.
τ]αῦτα δ' ἐφ' ἡσυχίης
εὖτ' ἂν μελανθη[
ἐ]γώ τε καὶ σὺ σὺν θεῶι βουλεύσομεν.
π]είσομαι ὥς με κέλεαι·
πολλόν μ' ε[
θρ]ιγκοῦ δ' ἔνερθε καὶ πυλέων ὑποφ[
μ]ή τι μέγαιρε φίλη·
σχήσω γὰρ ἐς ποη[φόρους
κ]ήπους· τὸ δὴ νῦν γνῶθι. Νεοβούλη[ν
ἄ]λλος ἀνὴρ ἐχέτω·
αἰαῖ, πέπειρα, δ̣ὶ̣ς ⌊τόση,
ἄν]θος δ' ἀπερρύηκε παρθενήϊον
κ]αὶ χάρις ἣ πρὶν ἐπῆν·
κόρον γὰρ οὐκ[
..]ης δὲ μέτρ' ἔφηνε μαινόλ̣ι̣ς γυνή.
ἐς] κόρακας ἄπεχε·
μὴ τοῦτ' ἐ̣φ̣ο̣ῖ̣τ' ἀ̣ν̣[
ὅ]π̣ως ἐγὼ γυναῖκα τ[ο]ιαύτην ἔχων
γεί]τοσι χάρμ' ἔσομαι·
πολλὸν σὲ βούλο̣[μαι
σὺ] μὲν γὰρ οὔτ' ἄπιστος οὔτε διπλόη,
ἡ δ]ὲ μάλ' ὀξυτέρη,